Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Synodi epistola ad clerum, populumque Constantinopolitanum.

urn:nbn:de:hbz:466:1-15062

Visual Library

ANNO CHRISTI 431.

Ἐπιστολὴ τῆς συνόδου πρὸς τὸν κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως.

Τῷ εὐλαβεστάτῳ κλήρῳ, καὶ τῷ λαῷ Κωνσταντινουπόλεως, παρὰ τῆς ἁγίας συνόδου.

ΟΥΔΕΙΣ τολμήσας τῷ ἰδίῳ κτίστῃ ἐναντιωθῆναι, ἔμεινεν ἐκτὸς θείας δίκης, ἀλλ' εὐθύς, ὅσον ἧκε καὶ εἰς ἀνθρωπίνην ὄψιν, ἠμείφθη μερικῶς, διὰ τὸ τὴν τελειοτέραν ἀμοιβὴν τῷ μέλλοντι καιρῷ κατ' αὐτοῦ φυλάττεσθαι. ὅθεν καὶ Νεστόριος, ὁ τῆς δυσσεβοῦς αἱρέσεως ἀνακαινιστής, φθάσας ἐν τῇ Ἐφεσίων, ἔνθα ὁ θεολόγος Ἰωάννης, καὶ ἡ θεοτόκος παρθένος ἡ ἁγία Μαρία, τοῦ συλλόγου τῶν ἁγίων πατέρων καὶ ἐπισκόπων ξενώσας ἑαυτόν, καὶ κακῷ τῷ συνειδότι ἀπαντῆσαι μὴ τολμήσας, μετὰ τρίτην κλῆσιν, ψήφῳ δικαίᾳ τῆς ἁγίας τριάδος, καὶ τῇ αὐτῶν θεοπνεύστου κρίσεως κατακέκριται, καὶ ἐκβέβληται ἐγγράφως ἐπὶ πράξεως ὑπομνημάτων, πάσης ἱερατικῆς ἀξίας. χαίρετε τοίνυν ἐν κυρίῳ πάντοτε, καὶ πάλιν ἐρῶ, χαίρετε· κατήργηται γὰρ τὸ σκάνδαλον, καὶ ἐξερριζώθη τὸ ζιζάνιον ἐκ τοῦ χωρίου τοῦ πνευματικοῦ γεωργίου. ὑμεῖς δὲ ἀναζωπυρήσατε, καὶ λαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐκποδὼν ἐλάσατε τοὺς τῆς μιαρᾶς καὶ βεβήλου καινοφωνίας ἐργάτας· ἔσται γὰρ ὑμῖν ὁ μισθὸς οὐκ ἐλάττων τῶν ἐνταῦθα κεκμηκότων. πάντας ὑμᾶς ἀσπάζονται οἱ ἐνταῦθα σὺν ἡμῖν γνήσιοι ἀδελφοί.

*Synodi epiſtola ad clerum, populumque Conſtantinopolitanum.*

*Sancta Synodus religioſiſsimo clero, populoque Conſtantinopolitano.*

NEMO vnquam creatori ſuo obſiſtere auſus, diuinam vindictam euaſit; ſed, quantum quidem humanus aſpectus conſequi potuit, ſtatim aliquam ſuppliciorum partem (ſiquidem plenior retributio contra ipſum in futuro ſæculo reſeruatur) depédit. Quare & Neſtorius impiæ hæreſeos inſtaurator, cum in Epheſiorum ciuitatem perueniſſet, in qua Ioannes Theologus, & deipara Virgo ſancta Maria*, a ſanctorum patrum & epiſcoporum cœtu vltro ſeipſum abalienans, malæq; conſcientiæ reatu impeditus accedere non audens, poſt trinam citationem, iuſta ſanctæ trinitatis ſententia, diuinoque patrum iudicio condemnatus, & omni ſacerdotali dignitate priuatus eſt: atque illius condemnatio & exauctoratio ſcriptis mandata, & in actorum cõmentarios relata eſt. Gaudete itaque in Domino ſemper, & iterum dico, gaudete: nam offendiculum iam eſt ſublatum, zizaniaque e ſpiritalis culturæ agro ſunt eradicata. Confortamini proinde, & refocillamini; ſcutoque fidei ſumpto, ſceleratæ profanæque vocum nouitatis operarios confeſtim expellite. Neque enim minorem mercedem recipietis, quam illi qui hic deſudarunt. Sinceri fratres qui nobiſcum hoc loco ſunt, in Domino vos omnes ſalutant.

* *Aliqui ſubintelligunt*, aliquando habitauerunt, *alii*, ædes habent.

*Phil. 4. v. 4.*